ipſe dolorem qui ab illis ſuſcipitur, indolentia exuperet, non ſuſtinet: atque omnino collugentes non admittit, propterea quòd lugubris neque ipſe eſt. Mulierculæ verò, atque huiuſmodi viri collamentantibus delectantur: eóſque vt amicos & condolentes diligũt, ſed in omnibus imitari proculdubio meliorem debemus. At verò in proſperis rebus amicorum præſentia & vitæ traductionem iucundã habet, & intellectionem quòd ſua ob bona lætentur. Quocirca videretur ad proſperas fortunas promptè amicos eſſe inuitandos, beneficum enim eſſe honeſtum eſt: ad aduerſas autem tardè: quippe cùm malorum participes quamminimum facere amicos deceat. Vnde illud: eſſe me miſerũ eſt ſatis, maximè autem aduocandi ſunt amici, quando parua moleſtia ſuſcepta prodeſſe multum poſſunt. At ire econtrariò fortaſſe conuenit ad infortunatos nõ inuitatum & promptè: amici enim benefacere eſt, & maximè iis, qui in indigentia conſtituti ſunt, & qui non petierunt: vtriſque ſiquidem honeſtius eſt, atque iucundius: at fortunatos verò vt cooperemur quidem, promptè: etenim adhæc quoque amicis opus eſt, vt autem beneficiis afficiamur, tardè, quandoquidem ſtudere vtilitatem conſequi honeſtum non eſt. Inſuauitatis tamen reiiciendo fortaſſe vitanda opinio eſt: quandoque enim contingit: Eſſe igitur amicorum præſentia expetenda in omnibus videtur.

CAPVT XII.

IGitur quemadmodum amore captis inſpicere eſt amabiliſſimum, magíſq. hũc ſenſum quàm cæteros eligũt: vtpote cùm ex eo amor & maximè exiſtat & oriatur: ita quoque amicis conuiuere expetẽdum maximè eſt? amicitia enim eſt communicatio, & ſicut erga ſeipſum, ita quoque erga amicum ſeſe habet: at ſenſus erga ſe vniuſcuiuſque quòd ſit, expetibile eſt: erga amicum igitur quoque erit, ſed eius operatio in conuiuendo fit: quare meritò id appetunt. Quódque eſt ſingulis eſſe ipſum, aut cuius cauſa viuere eligunt: ea in re cum amicis degere volunt. Quocirca alij compotant: alij alea colludunt: coexercentur quidam & conuenantur: nonnulli comphiloſophantur: in eo ſinguli diem ſimul traducentes, quod maximè in vita amant. cùm enim conuiuere cum amicis velint, hęc faciunt, hæcque cum illis communicant, quibus cum ſe conuiuere exiſtimant. Prauorum igitur amicitia praua eſt. praua enim ſecum communicant, in-

A ὑπερτείνῃ τῇ ἀλυπίᾳ τὴν ἐκείνοις γινομένην
λύπην, οὐχ ὑπομένει. ὅλως τε συνθρήνους
οὐ προσίεται, διὰ τὸ μηδ᾽ αὐτὸς εἶναι θρηνη-
τικός. γύναια δὲ καὶ οἱ τοιοῦτοι ἄνδρες, τοῖς
συστενάζουσι χαίρουσι, καὶ φιλοῦσιν ὡς φίλους
καὶ συναλγοῦντας. μιμεῖσθαι δ᾽ ἐν ἅπασι δεῖ,
δηλονότι τὸν βελτίω· ἡ δ᾽ ἐν ταῖς εὐτυχίαις
τῶν φίλων παρουσία, τήν τε διαγωγὴν ἡ-
B δεῖαν ἔχει, καὶ τὴν ἔννοιαν, ὅτι ἥδονται ἐπὶ τοῖς
αὐτοῦ ἀγαθοῖς. διὸ δόξειεν ἂν δεῖν, εἰς μὲν τὰς
εὐτυχίας καλεῖν τοὺς φίλους προθύμως· εὐερ-
γετικὸν γὰρ εἶναι, καλόν· εἰς δὲ τὰς ἀτυχίας,
ὀκνοῦντα· μεταδιδόναι γὰρ ὡς ἥκιστα δεῖ τῶν
κακῶν. ὅθεν τὸ,

Ἅλις ἐγὼ δυστυχῶν.

μάλιστα δὲ παρακλητέον, ὅταν μέλλωσιν ὀλί-
C γα ὀχληθέντες, μεγάλα αὐτὸν ὠφελήσειν. ἰέναι
δὲ ἀνάπαλιν ἴσως ἁρμόζει, πρὸς μὲν τοὺς ἀ-
τυχοῦντας, ἄκλητον καὶ προθύμως· φίλου γὰρ
εὖ ποιεῖν, καὶ μάλιστα τοὺς ἐν χρείᾳ, καὶ τοὺς μὴ
ἀξιώσαντας· ἀμφοῖν γὰρ κάλλιον καὶ ἥδιον· εἰς
δὲ τὰς εὐτυχίας, συνεργοῦντα μὲν, προθύ-
μως· καὶ γὰρ εἰς ταῦτα χρεία φίλων. πρὸς εὐπά-
θειαν δὲ, σχολαίως. οὐ γὰρ καλὸν τὸ προθυμεῖ-
σθαι ὠφελεῖσθαι. δόξαν δ᾽ ἀηδίας ἐν τῷ διω-
D θεῖσθαι ἴσως εὐλαβητέον· ἐνίοτε γὰρ συμβαί-
νει. ἡ παρουσία δὴ τῶν φίλων ἐν ἅπασιν αἱ-
ρετὴ φαίνεται. Κεφάλαιον ιβ.

Ἆρ᾽ οὖν ὥσπερ τοῖς ἐρῶσι τὸ ὁρᾶν ἀγα-
πητότατόν ἐστι, καὶ μᾶλλον αἱροῦνται
ταύτην τὴν αἴσθησιν, ἢ τὰς ἄλλας, ὡς κατὰ
ταύτην μάλιστα τοῦ ἔρωτος ὄντος καὶ γινο-
μένου· οὕτω καὶ τοῖς φίλοις αἱρετώτατόν ἐστι
E τὸ συζῆν; κοινωνία γὰρ ἡ φιλία. καὶ ὡς πρὸς
ἑαυτὸν ἔχει, οὕτω καὶ πρὸς τὸν φίλον. περὶ
αὑτὸν δὲ ἡ αἴσθησις ὅτι ἐστιν, αἱρετή· καὶ περὶ
τὸν φίλον δή. ἡ δὲ ἐνέργεια γίνεται αὐτοῖς ἐν
τῷ συζῆν· ὥστ᾽ εἰκότως τούτου ἐφίενται. καὶ ὅ
ποτε ἐστιν ἑκάστοις τὸ εἶναι, ἢ οὗ χάριν αἱροῦν-
ται τὸ ζῆν, ἐν τούτῳ μετὰ τῶν φίλων βούλονται
F διάγειν· διόπερ, οἱ μὲν, συμπίνουσιν· οἱ δὲ, συγκυ-
βεύουσιν· ἄλλοι δὲ καὶ συγγυμνάζονται καὶ συγκυ-
νηγοῦσιν, ἢ συμφιλοσοφοῦσιν· ἕκαστοι δ᾽ ἐν τού-
τῳ συνημερεύοντες, ὅ, τι περ μάλιστα ἀγα-
πῶσι τῶν ἐν τῷ βίῳ· συζῆν γὰρ βουλόμενοι μετὰ τῶν
φίλων, ταῦτα ποιοῦσι, καὶ τούτων κοινωνοῦσιν,
οἷς οἴονται συζῆν. γίνεται οὖν, ἡ μὲν τῶν φαύ-
λων φιλία, μοχθηρά· κοινωνοῦσι γὰρ φαύλων,
ἀβέ-